## 07 IANUARIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL
# SF.PROROC IOAN BOTEZĂTORUL/ SF.MARI MUCENIŢE ECATERINA/ SF.MUCENIŢE AGATA DE LA PALERMO

ATENA,1988


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΣΙΣ ΚΟΙΝΗ ΕΙΣ ΤΟΝ ΙΩΑΝΝΗ ΠΡΟΔΡΟΜΟ, ΑΙΚΑΤΕΡΙΝΗΣ & ΑΓΑΘΗΣ ΜΑΡΤΥΡΩΝ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Εὐλογήσαντος τοῦ Ἱερέως, ὁ ΡΜΒ΄ ψαλμός, τὸ ὁ Θεὸς Κύριος, καὶ τὰ ἑξῆς: Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ταῖς τῶν τριῶν σου θεραπόντων πρεσβείαις, τοῦ Βαπτιστοῦ καὶ Προφήτου Προδρόμου, Αἰκατέρινης Δέσποτα τῆς νύμφης σου, καὶ Ἀγάθης Κύριε, τῆς στεῤῥᾶς Ἀθληφόρου, δίδου ταῖς ψυχαῖς ἡμῶν, φωτισμὸν καὶ εἰρήνην, καὶ τὴν παροῦσαν φύλαττε Μονήν, ἐκ πάσης ζάλης, ἀεὶ ἀκλυδώνιστον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε…

Ὁ Ν΄ ψαλμός, καὶ ὁ κανών, οὗ ἡ ἀκροστιχίς: Τῆς δὲ Μονῆς εἶτε Ἅγιοι σκέπη. Γερασίμου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τὸν πάντων Δεσπότην καὶ Ποιητήν, ὡς Πρόδρομος τούτου, Ἰωάννη καὶ Βαπτιστά, ἀπαύστως δυσώπει οἰκτειρῆσαι, τοὺς εὐλαβῶς προσιόντας τῇ σκέπῃ σου.

Ἡ νύμφη Κυρίου ἡ παγκαλής, Χριστὸν ἐκδυσώπει τὸν Νυμφίον σου ἐκτενῶς, ῥυσθῆναι ἡμᾶς πᾶσης ἀνάγκης, Αἰκατερίνα τοὺς σὲ μακαρίζοντας.

Στενώσεως πάσης ῥῦσαι ἡμᾶς, Ἀγάθη θεόφρον παῤῥησία σου πρὸς Χριστόν, καὶ αἴτει ἡμὶν πταισμάτων λύσιν, καὶ πολυπλόκων σκανδάλων ἐκλύτρωσιν.

Θεοτοκίον.

Δυνάμωσον Κόρη τὸ ἀσθενές, τῇ σῇ δυναστείᾳ τῆς ψυχῆς μου τῆς ταπεινῆς, ὡς ἄν περιγένωμαι Παρθένε, τῆς τοῦ ἐχθροῦ ὀλεθρίου δυνάμεως.

Οδὴ γ΄. Οὐρανίας ἁψίδος.

Ἐν τῇ σῇ προστασίᾳ καὶ δαψιλεῖ χάριτι, Πρόδρομε Χριστοῦ Ἰωάννη ἀεὶ καυχώμενοι, ἐχθροῦ ἐκτρέπομεν, τὰς καθ’ ἡμῶν ἐπιθέσεις, καὶ τὴν σὴν κηρύττομεν θερμὴν ἀντίληψιν.

Μὴ ἐλλείπῃς φρουροῦσα τὴν σὴν Μονὴν πάνσοφε, πάσης τοῦ ἐχθροῦ ἐπηρείας καὶ χαλεπότητος, τῇ ἐπισκέψει σοι, Αἰκατερίνα θεόφρον, ὡς ἄν βίον ἥσυχον πολιτευώμεθα.

Οὐρανόθεν Ἀγάθη δίδου τὴν σὴν εὔνοιαν, καὶ τῆς πρὸς Θεόν σου πρεσβείας τὴν ἀγαθότητα, ἡμῖν ἑκάστοτε, τοῖς ἐκ ψυχῆς ἀφορῶσι, πρὸς τὴν ὀξυτάτην σου Μάρτυς βοήθειαν.

Θεοτοκίον.

Νομοδότην τεκοῦσα νόμων ἐκτὸς φύσεως, Κεχαριτωμένη Παρθένε Χριστὸν τὸν Κύριον, τῆς ἀνομίας με, τῶν προσκλυζόντων χειμάῤῥων, λύτρωσαι καὶ δίδου μοι θείαν κατάνυξιν.

Διάσωσον, Τριὰς Ἁγίων ἐκ πάσης ἡμᾶς ἀνάγκης, ὦ Ἰωάννη Αἰκατερίνα τε πάνσοφε, σὺν τῇ Ἀγάθῃ ἁγίαις ἡμῶν πρεσβείαις.

Ἐπίβλεψον...

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάται ἡμῶν, ὦ Ἰωάννη Πρόδρομε, καὶ Νύμφη Χριστοῦ Αἰκατερίνα πάνσοφε, Ἀγάθη τε θεόνυμφε, προστατεύειν μὴ παύσησθε Ἅγιοι, ταύτης ὑμῶν τῆς Μονῆς τῆς σεπτῆς ἀεὶ προσκειμένης ταῖς εὐχαῖς ἡμῶν.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἡ πρεσβεία σου Πρόδρομε, τεῖχος ἡμῖν γένοιτο ἀῤῥαγέστατον, τοῦ ἐχθροῦ τὰ μηχανήματα, καθ’ ἡμῶν ἀπείργουσα δεόμεθα.

Σκέπη ἔσο καὶ ἔφορος, καὶ παραμυθία καὶ καταφύγιον, τῆς Μονῆς σου ταύτης πάνσοφε, τῆς Αἰκατερίνα εὐφημούσης σε.

Ἐντολῶν τοῦ Θεοῦ ἡμῶν, πληρωτὰς Ἀγάθη ἡμᾶς ἀνάδειξον, κατευθύνουσα ἑκάστοτε, πρὸς ὁδοὺς ζωῆς τοὺς σὲ γεραίροντας.

Θεοτοκίον.

θυνόν μου Πανάμωμε, τῆς ψυχῆς τοὺς πόδας πρὸς τὰ θελήματα, τοῦ τεχθέντος ἐκ νηδύος σου, ἵνα κληρονόμος τούτου γένωμαι.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Τίς σου τὰς πολλάς, Βαπτιστὰ ἐξείπει χάριτας; Σὺ γὰρ μέγιστος ἐδόθης βοηθός, τοῖς προστρέχουσι τῇ θείᾳ ἀντιλήψει σου.

Ἔχουσα πολλήν, παῤῥησίαν πρὸς τὸν Κύριον, Αὐτῷ πρέσβευε θερμῶς ὑπὲρ ἡμῶν, θαυμαστὴ Αἰκατερίνα μεγαλώνυμε.

Ἄγνισον ἡμῶν, τὴν ψυχὴν καὶ τὴν διάνοιαν, τῇ θερμῇ σου ἱκεσίᾳ πρὸς Χριστόν, ἀγαθώνυμε Ἀγάθη δυσωποῦμέν σε.

Θεοτοκίον.

Γέφυρα σὺ εἶ, τὸν Σωτῆρα σωματώσασα, ἀναφέρουσα ἐκ γῆς πρὸς οὐρανόν, Θεοτόκε τοὺς δοξάζοντας τὸν τόκον Σου.

Οδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἰάσεις, τοῖς προσιοῦσι πηγάζων, Ἰωάννη Βαπτιστὰ τοῦ Σωτῆρος, παῦσον ἡμῶν τῆς ψυχῆς καὶ τὴν ὀδύνην, καὶ τὴν τοῦ σώματος ἴασαι κάκωσιν, καὶ μετανοίας πρὸς ὁδούς, καθοδήγει ἡμᾶς τοὺς τιμῶντάς σε.

Ὁ Λόγος, ὥσπερ οἰκείαν σὲ νύμφην, καλλιπάρθενε προσήκατο κόρη, Αἰκατερίνα Μαρτύρων ἡ δόξα, ὅθεν

Αὐτὸν ἐκτενῶς καθικέτευε, ἐξ ἀλογίας τῶν παθῶν, ἐκλυτροῦσθαι τοὺς σὲ μακαρίζοντας.

Ἰλύος, φθοροποιῶν παθημάτων, καὶ κινδύνων καὶ πικρῶν νοσημάτων, καὶ χαλεπῶν τοῦ Βελίαρ σκανδάλων, Παρθενομάρτυς Ἀγάθη ἀπάλλαξον, πρεσβείαις σου πρὸς τὸν Χριστόν, τοὺς ὑμνοῦντας τὴν θείαν σου ἄθλησιν.

Θεοτοκίον.

Σωτῆρα, καὶ εὐεργέτην τεκοῦσα, σωτηρίας με ἀξίωσον Κόρη, τῆς τοῦ ἐχθροῦ ῥυομένη με πλάνης, καὶ τυραννίδος πικρᾶς καὶ χειρώσεως. Σὺ γὰρ ἐλπίς μου κραταιά, καὶ ἐν Σοὶ τοῦ Βελίαρ ῥυσθήσομαι.

Διάσωσον, Τριὰς Ἁγίων ἐκ πάσης ἡμᾶς ἀνάγκης, ὦ Ἰωάννη Αἰκατερίνα τε πάνσοφε, σὺν τῇ Ἀγάθῃ ἁγίαις ἡμῶν πρεσβείαις.

Ἄχραντε...

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τῇ κραταιᾷ ὑμῶν σκέπῃ προστρέχοντες, ὦ Ἰωάννη Προφῆτα καὶ Πρόδρομε, Αἰκατερίνα Μαρτύρων ἀγλάϊσμα, σὺν τῇ Ἀγάθῃ ἁπάσης λυτρούμεθα, μανίας ἐχθροῦ τοῦ ἀλάστορος.

Προκείμενον: Θαυμαστὸς ὁ Θεός...

Στ.: Τοῖς Ἁγίοις, τοῖς ἐν τῇ γῇ Αὐτοῦ...

Εὐαγγέλιον κατὰ Ματθαῖον:

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν Αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἤ ἕτερον προσδοκῶμεν; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες, ἀπαγγείλατε Ἰωάννῃ ἅ ἀκούετε καὶ βλέπετε. Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. Καὶ μακάριός ἐστιν, ὅς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; Κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; Ναί, λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Πάντες γὰρ οἱ Προφῆται καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν. Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας, ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Δόξα: Ταῖς τῶν Σῶν Ἁγίων...

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός... Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Πρόδρομε πανεύφημε, Αἰκατερίνα θεόφρον, καὶ Ἀγάθη πάνσεμνε, ἡμῶν ἀντιλήπτορες ἐνθεώτατοι, τῷ Χριστῷ πάντοτε, ποιεῖτε πρεσβείαν, λυτρωθῆναι πάσης θλίψεως καὶ ἐπιθέσεων, καὶ ἐπηρειῶν τοῦ ἀλάστορος, τὴν δὲ Μονὴν δεόμεθα, τὴν ἀνακειμένην μακάριοι, ὑμῶν ἐν τη σκέπῃ, καὶ δίδοσθε αὐτῇ παρὰ Θεοῦ, εἰρήνην θείαν καὶ ἔλεος, καὶ πταισμάτων ἄφεσιν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Καθ’ ἑκάστην ἡμέραν, τῆς θερμῆς ἀρωγῆς σου δίδου τὰς χάριτας, καὶ φῶς καὶ σωτηρίαν, καὶ ῥῶσιν καὶ ὑγείαν, θεοδόξαστε Πρόδρομε, τοῖς προσιοῦσι πιστῶς τῇ θείᾳ σου πρεσβείᾳ.

Ἐκλεκτὴ τοῦ Σωτῆρος, καὶ περίδοξος Νύμφη ὤφθης πανεύφημε. Αὐτὸν οὖν ἐκδυσώπει σοφὴ Αἰκατερίνα, καταπέμψαι τῇ ποίμνῃ σου, τῶν θεϊκῶν οἰκτιρμῶν, τὴν θείαν χορηγίαν.
Πειρασμῶν τὰς ἐφόδους, καὶ παθῶν τὰς ὀδύνας Ἀγάθη ἔνδοξε, ἀπέλασον ἐν τάχει, ἐκ τῆς παρούσης Μάνδρας, καὶ πᾶν σκάνδαλον νέκρωσον, ὡς παῤῥησίαν πολλήν, πρὸς τὸν Χριστὸν πλουτοῦσα.

Θεοτοκίον.

λιόμορφε Κόρη, Ἀειπάρθενε μόνη Θεοχαρίτωτε, ἡ τέξασα ἀφράστως, Χριστὸν τὸν Βασιλέα, κληρονόμους

ἀνάδειξον, τῆς βασιλείας Αὐτοῦ, τοὺς Σὲ δοξολογοῦντας.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Γενοῦ Προφῆτα, καὶ Βαπτιστὰ Ἰωάννη, τεῖχος ἄῤῥηκτον κατὰ τῶν ἐναντίων, τοῖς ἐπιζητοῦσι, τὴν σὴν ἐπιστασίαν.

Ἐν τῇ σῇ κλήσει, Αἰκατερίνα καυχᾶται, ἡ παροῦσά σου Μονὴ Μεγαλομάρτυς, ἥν σκέπε ἀοράτως, ἐκ πάσης δυσχερείας.

Ῥυσθῆναι πάσης, ἐπιβουλῆς τοῦ δολίου, καθικέτευε Ἀγάθη τὸν Σωτῆρα, τοὺς ὑμνολογοῦντας, τὴν ἄθλησίν σου Μάρτυς.

Θεοτοκίον.

Ἄχραντε Κόρη, Εὐλογημένη Μαρία, εὐλογίαις με στεφάνωσον ταῖς θείαις, ἵνα παθημάτων, ῥυσθῶ τῶν ψυχοφθόρων.

Οδὴ θ΄. Κυρίως Θεοτόκον.

Σαρκὸς ἐπαναστάσεις, νέκρωσον Προφῆτα, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν αἴτησαι, τοῖς ἀδιστάκτῳ καρδίᾳ σὲ μεγαλύνουσι.

Ἰσχὺν ἡμῖν παράσχου, κατὰ τοῦ Βελίαρ, Αἰκατερίνα σοφὴ καλλιπάρθενε, τοῖς τῷ ἁγίῳ ναῷ σου θερμῶς προστρέχουσι.

Μαρτύρων ὡραιότης, ἔνδοξε Ἀγάθη, τὸν ἀγαθόδωρον Λόγον καὶ Κύριον, ὑπὲρ ἡμῶν ἐκδυσώπει τῶν εὐφημούντων σε.

Οἱ τρεῖς ἡμῶν προστάται, Πρόδρομε Κυρίου, Αἰκατερίνα σοφὴ καλλιπάρθενε, σὺν τῇ Ἀγάθῃ φρουρεῖτε ἡμᾶς ἑκάστοτε.

Θεοτοκίον.

Ὑπέρτερόν με δεῖξον, τῶν χαμαὶ κειμένων, καὶ τῆς ψυχῆς μου τὴν ἔφεσιν ὕψωσον, Εὐλογημένη Παρθένε πρὸς θεῖον ἔρωτα.

Τὸ Ἄξιόν ἐστι, καὶ τὰ Μεγαλυνάρια.

Πρόδρομε Κυρίου καὶ Βαπτιστά, καὶ Αἰκατερίνα, νύμφη ἄφθορε τοῦ Χριστοῦ, καὶ σεμνὴ Ἀγάθη, τὴν δὲ ἁγίαν Μάνδραν, ὑμῶν τῇ προστασίᾳ σκέπετε πάντοτε.

Μέγας ὢν Προφῆτα καὶ Βαπτιστά, μεγάλων κινδύνων, τῇ μεγίστῃ σου πρὸς Χριστόν, λύτρωσαι πρεσβείᾳ, τοὺς σὲ θερμὸν προστάτην, ἐν πᾶσι κεκτημένους, καὶ μεγαλύνοντας.
Ἤνοιξας τὸ στόμα σου ὦ σεμνή, μέσον τοῦ σταδίου, καὶ κατήσχυνας τὸν ἐχθρόν, τῇ πολλῇ σοφίᾳ, σοφὴ Αἰκατερίνα, καὶ ἤθλησας ἀνδρείως, Χριστοῦ τῷ ἔρωτι.

Πάντα ὑπερεῖδες τὰ γηρά, Ἀγάθη θεόφρον, καὶ νενύμφευσαι τῷ Χριστῷ, καὶ θαυμαστωθεῖσα, ἀγῶσι

μαρτυρίου, ἐπήρθης πρὸς νυμφῶνα, τὸν ὑπερκόσμιον.
Ὑμῶν τῇ πρεσβείᾳ πίστει θερμῇ, ἡ παροῦσα Μάνδρα, καταφεύγει καὶ ἐκβοᾷ· θεῖε Ἰωάννη, σοφὴ Αἰκατερίνα, καὶ ἔνδοξε Ἀγάθη, ἡμῶν στηρίγματα.

Πᾶσαι τῶν Ἀγγέλων...

Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἥ τὸ ἑξῆς: Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Πάντας, τοὺς προσπίπτοντας πιστῶς, ὑμῶν τῇ σεπτῇ προστασίᾳ, ἔνδοξε Πρόδρομε, Ἰωάννη μέγιστε, Αἰκατερίνα σοφή, καὶ Ἀγάθη θεόληπτε, ἐκ πάσης ἀνάγκης καὶ πάσης στενώσεως, ἀπολυτρώσασθε, νέμοντες ἡμῖν οὐρανόθεν, τὰ τῆς θεϊκῆς εὐσπλαγχνίας, θείας διαδόσεις ἀξιάγαστοι.
Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...
Ἀπόλυσις.

